ριον τῆς κολακείας φημὶ εἶναι τὴν ῥητορικήν. i) ΠΩΛ. Ἐρωτῶ δή, καὶ ἀπόκριναι, ὁποῖον μόριον. ΣΩ. Ἆρ' οὖν ἂν μάθοις ἀποκριναμένου· k) ἔστι γὰρ ἡ ῥητορική, κατὰ τὸν ἐμὸν λόγον, πολιτικῆς μορίου εἴδωλον l). ΠΩΛ. Τί οὖν; καλὸν ἢ αἰσχρὸν λέγεις αὐτὴν εἶναι; ΣΩ. Αἰσχρὸν ἔγωγε. τὰ γὰρ κακά, αἰσχρὰ ἐγὼ m) καλῶ· ἐπειδὴ δεῖ σοι ἀποκρίνασθαι ὡς ἤδη εἰδότι ἃ ἐγὼ λέγω. ΓΟΡ. Μὰ τὸν Δία n), ὦ Σώκρατες· ἀλλ' ἐγὼ οὐδὲ αὐτὸς ξυνίημι ὅ, τι λέγεις. ΣΩ. Εἰκότως γε, ὦ Γοργία. οὐδὲν γάρ πω σαφὲς λέγω. Πῶλος δὲ ὅδε νέος ἐστὶ καὶ ὀξύς. ΓΟΡ. Ἀλλὰ τοῦτον μὲν ἔα· ἐμοὶ δ' εἰπὲ πῶς λέγεις πολιτικῆς μορίου εἴδωλον εἶναι o) τὴν ῥητορικήν. ΣΩ. Ἀλλὰ

i) Cod. vterque τὴν ῥητορικὴν φημὶ εἶναι. Ante pro πυθέσθαι apud Ariſtidem eſt πυνθάνεσθαι.

k) Int. μοῦ. Vid. ad Sect. 80. Vertenda autem mihi quidem haec verba videntur: *Igitur ſane me reſpondente diſces.* Ficinus vertit: *An me reſpondente perdiſces?* Sed interrogatio huic loco non conuenire et ab eo aliena videtur eſſe. Vnde pro Ἆρ' οὖν ſcribendum duxi Ἄρ' οὖν, et pro ſigno interrogandi poſui colon. Ariſtides pro μάθοις habet μάθῃς.

l) Apuleius de Habitud. Doct. Plat. 2. p. 16. Elmenh. exprimit per *ciuilis particulae vmbram, id eſt, imaginem.* Quinctil. loco ad Sect. ſuper. laudato per *ciuilitatis particulae ſimulacrum.* Ammianus Marcellinus L. XXX. p. 591. ed. Valeſ. poſter. per *ciuilitatis particulae vmbram.* Vid. Ind. v. Εἴδωλον.

m) Cod. vterque καλῶ ἐγώ. Ariſtides ignorat ἐγώ, et ſtatim pro ἃ ἐγὼ λέγω habet ὃ λέγω.

n) Int. οὐκ εἰδὼς ἐστί ſ. οὐκ οἶδε ἃ σὺ λέγεις. Vid. Lamb. Boſ. ad Thom. Magiſtr. p. m. 590. et Ind. in Μά. Ariſtides pro ἀλλ' ἐγὼ exhibet ἀλλ' ἔγωγε.

o) Vid. ad Sect. 4. not. p. Baſ. 2. ἴδωλον pro εἴδωλον, et Cod. vterque δὲ εἶπε ſine apoſtropho.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id379444410/96 gefördert von der Deutschen Forschungsgemeinschaft DFG